**eMatins powered by AGES**

# The Service of Matins

**for Sunday, July 25, 2021**

**Octoechos - Mode 4.**
**on Sunday Morning**

**Eothinon 5**

**Menaion - July 25**
**Memory of the Repose of Saint Anna**

**Katavasias of Theotokos**

**Texts in Greek and English**

## Sources

AC Copyright © 2019 by Anthony Cook

VPA Copyright © 2016 by Virgil Peter Andronache

RB Copyright © 2019 by Richard Barrett

TC Copyright © 2020 by Thomas Carroll

SD Copyright © 2021 by Fr. Seraphim Dedes

GKD Copyright © 2017 by George K. Duvall

GOA © The Greek Orthodox Archdiocese of America

HC Liturgical Texts courtesy and copyright of Holy Cross Press, Brookline, MA

AGH Copyright © 2019 by Andreas Houpos

EL Copyright Archimandrite Ephrem [Lash] ©

KW © Metropolitan Kallistos Ware

NKJV Scripture taken from the New King James Version™. Copyright © 1982 by Thomas Nelson, Inc. Used by permission. All rights reserved.

OCA Copyright © 1996–2015. All rights reserved.

RSV Revised Standard Version of the Bible, copyright © 1946, 1952, and 1971 National Council of the Churches of Christ in the United States of America. Used by permission. All rights reserved.

SAAS Scripture taken from the St. Athanasius Academy Septuagint™. Copyright © 2008 by St. Athanasius Academy of Orthodox Theology. Used by permission. All rights reserved.

## Disclaimer

The translation, rubrics, Greek and English texts are for the purposes of worship only and is subject to change without notice and should not be construed as a commitment by the authors, translators, developers, and personnel associated with its publication. Efforts are taken to make this booklet complete and accurate, but no warranty of fitness is implied.

All rights reserved. The materials contained within this booklet remain the property of all contributing translators. It is published solely for the purpose of providing a source of worship materials to the parishes of the Orthodox Church and may be copied and otherwise reproduced as needed by the parish toward this end; however, it may not be reprinted, reproduced, transmitted, stored in a retrieval system, or translated into any language in any form by any means — electronic, mechanical, recording, or otherwise — for the purpose of sale without the express written permission.

## GOA DCS Website

## Fonts

Font copyright (c) 2010 Google Corporation with Reserved Font Arimo, Tinos and Cousine.

Copyright (c) 2012 Red Hat, Inc. with Reserved Font Name Liberation. This Font Software is licensed under the SIL Open Font License, Version 1.1.

**This document was produced using the AGES Liturgical Workbench.**

**Βιβλία - Πηγαί**

**Ὀκτώηχος - Ἦχος δ΄.**

Τῇ Κυριακῇ Πρωΐ

**Μηναῖον - ΤῊ ΚΕ΄ ΙΟΥΛΙΟΥ**

Μνήμη τῆς Κοιμήσεως τῆς Ἁγίας Ἄννης

**Books - Sources**

**Octoechos - Mode 4.**

On Sunday Morning

**Menaion - July 25**

Memory of the Repose of Saint Anna

---

## ΟΡΘΡΟΣ

**ΧΟΡΟΣ**

**Ἦχος δ΄.**

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. α΄.** *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.*

*ἤ· Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.*

**Στίχ. β΄.** *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

**Στίχ. γ΄.** *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

Τῆς Ὀκτωήχου - - -

**Ἀπολυτίκιον Ἀναστάσιμον.**

**Ἦχος δ΄.**

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα. **Τὸ αὐτό.**

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν

---

## MATINS

**CHOIR**

**Mode 4.**

God is the Lord, and He revealed Himself to us. Blessed is he who comes in the name of the Lord. [SAAS]

**Verse 1:** *Give thanks to the Lord and call upon His holy name.*

*or: Give thanks to the Lord, for He is good; for His mercy endures forever.*

**Verse 2:** *All the nations surrounded me, but in the name of the Lord I defended myself against them.*

**Verse 3:** *And this came about from the Lord, and it is wonderful in our eyes.*

From Octoechos - - -

**Resurrectional Apolytikion.**

**Mode 4.**

When the women Disciples of the Lord had learned from the Angel the joyful message of the Resurrection and rejected the ancestral decision, they cried aloud to the Apostles triumphantly: Death has been despoiled, Christ God has risen, granting His great mercy to the world. [SD]

Glory. **Repeat.**

When the women Disciples of the Lord had learned from the Angel the joyful message of the Resurrection and rejected the ancestral

ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

decision, they cried aloud to the Apostles triumphantly: Death has been despoiled, Christ God has risen, granting His great mercy to the world. [SD]

Καὶ νῦν. **Τῆς Ἁγίας.**

Τοῦ Μηναίου - - -

**Ἦχος δ΄.** *Ταχὺ προκατάλαβε.*

Ζωὴν τὴν κυήσασαν, ἐκυοφόρησας, ἁγνὴν Θεομήτορα, θεόφρον Ἄννα· διὸ πρὸς λῆξιν οὐράνιον, ἔνθα εὐφραινομένων, κατοικία ἐν δόξῃ, χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων αἰτουμένη, ἱλασμὸν ἀειμακάριστε.

Both now. **For the Holy Woman.**

From Menaion - - -

**Mode 4.** *Come quickly.*

You carried within your womb her who was pregnant with Life, * the Mother of God, O godly-minded Anna; and thus * to heaven were you today * transported with great rejoicing, where those who feast dwell in glory. * You pray for the forgiveness of offenses for the faithful * who honor you with longing, O ever-blessed one. [SD]

**ΙΕΡΕΥΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

Ὅτι σὸν τὸ κράτος καὶ σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**PRIEST**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

For Yours is the dominion, and Yours is the kingdom and the power and the glory, of the Father and of the Son and of the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**ΧΟΡΟΣ**

**Κάθισμα Α΄.**

Τῆς Ὀκτωήχου - - -

**Ἦχος δ΄.**

Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ Ἀγγέλου μὴ φέρουσαι, αἱ Μυροφόροι σὺν τρόμῳ ἐξίσταντο λέγουσαι· Ἆρα ἐκλάπη, ὁ τῷ Ληστῇ ἀνοίξας Παράδεισον, ἆρα ἠγέρθη, ὁ καὶ πρὸ πάθους κηρύξας τὴν Ἔγερσιν, ἀληθῶς ἀνέστη Χριστὸς ὁ Θεός, τοῖς ἐν ᾅδῃ παρέχων ζωὴν καὶ ἀνάστασιν.

Δόξα.

*Κατεπλάγη Ἰωσήφ.*

Ἑκουσίᾳ σου βουλῇ, Σταυρὸν ὑπέμεινας Σωτήρ, καὶ ἐν μνήματι καινῷ, ἄνθρωποι ἔθεντο θνητοί, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον· ὅθεν δεσμευθεὶς ὁ ἀλλότριος, θάνατος δεινῶς ἐσκυλεύετο, καὶ οἱ ἐν ᾅδῃ ἅπαντες ἐκραύγαζον, τῇ ζωηφόρῳ Ἐγέρσει σου· Χριστὸς ἀνέστη, ὁ ζωοδότης, μένων εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. **Τῆς Ἁγίας.**

Τοῦ Μηναίου - - -

**Ἦχος γ΄.** *Τὴν ὡραιότητα.*

Ἡ εὐκλεέστατος καὶ ἀξιέπαινος, Ἄννα ἡ ἔνθεος, καὶ πανσεβάσμιος, γῆθεν ἀρθεῖσα ἐκ ζωῆς, προσκαίρου διαιωνίζει, εἰς ζωὴν ἀθάνατον, μέτ' Ἀγγέλων χορεύουσα, σὺν τῇ θυγατρὶ αὐτῆς, καὶ ἀχράντῳ Μητρὶ τοῦ Θεοῦ, πρεσβεύουσα ἀπαύστως σωθῆναι, τοὺς πίστει ταύτην μακαρίζοντας.

**CHOIR**

**Kathisma I.**

From Octoechos - - -

**Mode 4.**

Looking up at the entrance to the sepulcher, and unable to endure the Angel's radiance, the myrrh-bearing women were trembling and said in astonishment: Has He been stolen, who to the Robber opened up Paradise? Has He arisen, who spoke of rising before even suffering? He is truly risen as Christ our God, granting those in Hades life and resurrection. [SD]

Glory.

*Joseph marveled.*

By Your voluntary will, O Savior, You endured the Cross, * and by mortal men were You into a new tomb interred, * who by a word had created the entire world. * Therefore being bound was the enemy Death * plundered of his spoils catastrophically. * And those in Hades all together cried aloud at Your life-bearing resurrection: * The Christ is risen, the Life-bestower, * and He abides forever. [SD]

Both now. **For the Holy Woman.**

From Menaion - - -

**Mode 3.** *Seeing how beautiful.*

The most illustrious, praiseworthy, God-inspired * and ever-ven'rable Anna is lifted up, * from the temporal life on earth and taken to life immortal, * living in eternity, joining chorus with hosts on high, * interceding ceaselessly with her daughter, the undefiled * Theotokos, for the salvation * of those who call her blessed with faith and love. [SD]

Τῆς Ὀκτωήχου - - -

**Κάθισμα Β΄.**

**Ἦχος δ΄.** *Ταχὺ προκατάλαβε.*

Ἀνέστης ὡς ἀθάνατος, ἀπὸ τοῦ ᾅδου Σωτήρ, συνήγειρας τὸν κόσμον σου, τῇ Ἀναστάσει τῇ σῇ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔθραυσας ἐν ἰσχύϊ, τοῦ θανάτου τὸ κράτος, ἔδειξας Ἐλεῆμον, τὴν Ἀνάστασιν πᾶσι· διό σε καὶ δοξάζομεν, μόνε Φιλάνθρωπε.

From Octoechos - - -

**Kathisma II.**

**Mode 4.** *Come quickly.*

O Savior, immortal as You are, from Hades You rose, * by virtue of Your own resurrection raising Your world * together, O Christ our God. * Mightily You have broken death's dominion, O Master. * You as the Lord of mercy showed to all the resurrection. * We therefore glorify You who alone love humanity. [SD]

Δόξα.

*Κατεπλάγη Ἰωσήφ.*

Ἐκ τῶν ἄνω κατελθών, τῶν ὑψωμάτων Γαβριήλ, καὶ τῇ πέτρα προσελθών, ἔνθα ἡ πέτρα τῆς ζωῆς, λευχειμονῶν ἀνεκραύγαζε ταῖς κλαιούσαις· Παύσασθε ὑμεῖς, τῆς θρηνώδους κραυγῆς, ἔχουσαι ἀεί, τὸ εὐσυμπάθητον· ὃν γὰρ ζητεῖτε κλαίουσαι, θαρσεῖτε, ὡς ἀληθῶς ἐξεγήγερται· διὸ βοᾶτε, τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος.

Glory.

*Joseph marveled.*

From exalted heights above descended Gabriel and came, * and he sat upon the rock wherein the Rock of life had lain. * Arrayed in white, he cried out to the weeping women: * "Cease now from your mourning and cries of lament, * you women who are always moved to sympathy. * Take courage; for truly risen * is He for whom you weep and are seeking. * And therefore, cry out to the Apostles, * 'The Lord has truly risen.'" [SD]

Καὶ νῦν. **Τῆς Ἁγίας.**

Τοῦ Μηναίου - - -

**Ἦχος α΄.** *Τὸν τάφον σου Σωτήρ.*

Τὰς νόμου ἐντολάς, θεαρέστως τηροῦσα, μητέρας Ἰσραήλ, ὑπερῆρας ἁπάσας, τὴν μόνην ἀειπάρθενον, Θεοτόκον κυήσασα, ἁγιόλεκτε, Ἄννα Προμῆτορ Κυρίου· μεταστᾶσα δέ, ἐκ γῆς πρὸς θεῖον νυμφῶνα, δικαίων ὑπέρκεισαι.

Both now. **For the Holy Woman.**

From Menaion - - -

**Mode 1.** *The soldiers keeping watch.*

You kept the Law's commands in a God-pleasing manner, * and so you rose above all of Israel's mothers, * for carrying in your womb the ever-virgin Theotokos. * Elect in holiness, the Lord's ancestress Anna, * being conveyed from earth to the divine bridal chamber, * you clearly surpass the Just. [SD]

**Εὐλογητάρια Ἀναστάσιμα.**
**Ἦχος πλ. α΄.**

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅᾳδου πάντας ἐλευθερώσαντα.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν, τὸν ζῶντα

**Resurrectional Evlogetaria.**
**Mode pl. 1.**

*Blessed are You, O Lord, teach me Your statutes.*

When the hosts of the Angels saw how You were accounted among the dead, they all marveled. You, O Savior, are the One who destroyed the might of death; and when You arose You raised Adam with yourself and from Hades liberated everyone. [SD]

*Blessed are You, O Lord, teach me Your statutes.*

"Why do you mingle the ointments with your tears full of pity, O women disciples?" Thus the Angel who was shining in the tomb cried to the myrrh-bearing women. "See for yourselves the empty tomb and understand, that the Savior has risen from the sepulcher." [SD]

*Blessed are You, O Lord, teach me Your statutes.*

Very early in the morning, the myrrh-bearing women were hastening to Your tomb lamenting. But the Angel appeared to them and uttered, "The time for lamentation has ended; weep no more. Go announce the Resurrection to the Apostles." [SD]

*Blessed are You, O Lord, teach me Your statutes.*

When the myrrh-bearing women had come with their spices to Your sepulcher, O Savior, they heard the voice of an Angel clearly speaking to them, "Why do you account

λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθείς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα. Ἀλληλούϊα. Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός. (ἐκ γ΄)

**ΔΙΑΚΟΝΟΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ**

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ

among the dead the One who lives? For as God, He has risen from the sepulcher." [SD]

Glory.

We bow down in worship to the Father and His Son and the Holy Spirit, the Holy Trinity, one in essence; and we cry aloud with the Seraphim: Holy, Holy, Holy are You, O Lord. [SD]

Both now.

Giving birth to the Giver of life, O Virgin, you delivered Adam from sin, and to Eve you have rendered joy in place of sorrow. He who from you became incarnate, God and man, has directed to life him who fell from it. [SD]

Alleluia. Alleluia. Alleluia. Glory to You, O God. (3)

**DEACON**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST**

For blessed is Your name, and glorified is Your kingdom, of the Father and the Son

τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**ΑΝΑΓΝΩΣΤΗΣ**

Τῆς Ὀκτωήχου - - -

**Ὑπακοή. Ἦχος δ΄.**

Τὰ τῆς σῆς παραδόξου ἐγέρσεως, προδραμοῦσαι αἱ Μυροφόροι, τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστέ, ὅτι ἀνέστης ὡς Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**ΧΟΡΟΣ**

**Οἱ Ἀναβαθμοί.**

**Ἀντίφωνον Α΄. Ἦχος δ΄.**

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**Ἀντίφωνον Β΄.**

Ἐκέκραξά σοι Κύριε, θερμῶς ἐκ βάθους ψυχῆς μου, κᾀμοὶ γενέσθω, πρὸς ὑπακοὴν τὰ θεῖά σου ὦτα.

Ἐπὶ τὸν Κύριον ἐλπίδα πᾶς τις κεκτημένος, ὑψηλότερος ἐστί, πάντων τῶν λυπούντων.

and the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**READER**

From Octoechos - - -

**Hypakoe. Mode 4.**

The women bearing myrrh hurried to declare the matter of Your paradoxal rising to Your Apostles, O Christ, that as God You arose, granting the world great mercy. [SD]

**CHOIR**

**Anavathmoi.**

**Antiphon I. Mode 4.**

Since my youth have many passions waged war against me. O my Savior, nonetheless help me and save me. [SD]

You, the haters of Zion, be put to shame by the Lord, for like thatch in fire you will be completely dried up. [SD]

Glory. Both now.

From the Holy Spirit every soul receives life, and through cleansing is lifted and brightened, in a hidden, sacred manner, by the trinal Monad. [SD]

**Antiphon II.**

I cried to You, O Lord, from the depth of my soul with fervor. Let Your divine ears be responsive to me. [SD]

Whosoever has acquired hope in the Lord is superior to all whatsoever might grieve him. [SD]

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Glory. Both now.

From the Holy Spirit do the streams of grace well forth; they irrigate everything created, so that life be engendered. [SD]

**Ἀντίφωνον Γ´.**

Ἡ καρδία μου πρὸς σὲ Λόγε ὑψωθήτω, καὶ οὐδὲν θέλξει με, τῶν τοῦ κόσμου τερπνῶν πρὸς χαμαιζηλίαν.

Ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἔχει τις στοργήν, ἐπὶ τῷ Κυρίῳ θερμότερον φίλτρον χρεωστοῦμεν.

Δόξα· καὶ νῦν.

Ἁγίῳ Πνεύματι, θεογνωσίας πλοῦτος, θεωρίας καὶ σοφίας· πάντα γὰρ ἐν τούτῳ τὰ πατρῷα δόγματα, ὁ Λόγος ἐκκαλύπτει.

**Antiphon III.**

Let my heart be lifted up unto You, O Logos; and none of the world's delights will entice me to be earthly-minded. [SD]

Whereas one has filial affection for his mother, for the Lord we ought to have a love even more fervent. [SD]

Glory. Both now.

In the Holy Spirit is the wealth of knowledge of God, contemplation and wisdom. For in Him the Logos discloses all the dogmas of the Father. [SD]

**Προκείμενον.**

Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. (δίς)

**Στίχ.** *Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.*

Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου.

**Prokeimenon.**

Arise, O Lord; help us, and redeem us, because of the glory of Your name. (2)

**Verse:** *O God, we heard with our ears.*

Arise, O Lord; help us, and redeem us, because of the glory of Your name. [SAAS]

**ΑΝΑΓΝΩΣΤΗΣ**

Τῆς Ὀκτωήχου - - -

**Κοντάκιον Ἀναστάσιμον.**

Ὁ Σωτὴρ καὶ ῥύστης μου, ἀπὸ τοῦ τάφου, ὡς Θεὸς ἀνέστησεν, ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας ᾅδου συνέτριψε, καὶ ὡς Δεσπότης ἀνέστη τριήμερος.

**READER**

From Octoechos - - -

**Resurrectional Kontakion.**

Savior and Deliverer is He who raised up from the tomb and from the bonds those born on earth, for He is God; and He destroyed Hades' bars and gates, and on the third day arose, as the Master of all. [SD]

### Ὁ Οἶκος.

Τὸν ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν ζωοδότην, τριήμερον ἐκ τάφου, καὶ πύλας τοῦ θανάτου σήμερον συνθλάσαντα, τῇ δυνάμει τῇ αὐτοῦ, τὸν ᾅδην τε νεκρώσαντα, καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐλευθερώσαντα, ὑμνήσωμεν πάντες οἱ γηγενεῖς, εὐχαρίστως βοῶντες αἶνον ἐκτενῶς. Αὐτὸς γὰρ ὡς μόνος κραταιὸς Θεός, καὶ Δεσπότης ἀνέστη τριήμερος.

### Oikos.

To Him who from the dead arose, Christ the Life-Giver, on the third day from the tomb; who crushed the gates of death today by the power which is His; who slew Hades and ground away the sting of death, and rescued Adam and Eve: to Him let us all, born on earth, now sing, earnestly shouting our grateful praise. For He, alone our mighty God, on the third day arose, as the Master of all. [GKD]

### Κοντάκιον. Τῆς Ἁγίας.
### Κοντάκιον.

Τοῦ Μηναίου - - -

**Ἦχος β΄.** *Τὰ ἄνω ζητῶν.*

Προγόνων Χριστοῦ, τὴν μνήμην ἑορτάζομεν, τὴν τούτων πιστῶς, αἰτούμενοι βοήθειαν, τοῦ ῥυσθῆναι ἅπαντας, ἀπὸ πάσης θλίψεως, τοὺς κραυγάζοντας· ὁ Θεὸς γενοῦ μεθ' ἡμῶν, ὁ τούτους δοξάσας ὡς ηὐδόκησας.

### Kontakion. For the Holy Woman.
### Kontakion.

From Menaion - - -

**Mode 2.** *In seeking the heights.*

Today we observe the memory of Christ's forebears, * and also we pray that we might receive their aid, * so that all of us may be freed from tribulations, as we cry aloud, * "Be with us, O Lord our God, * who glorified them as You were pleased to do." [SD]

### Ὁ Οἶκος.

Προφητικῶς συνέλθωμεν πάντες, τοῦ ἀξίως ὑμνῆσαι τῆς προγόνου Χριστοῦ τὴν παναγίαν μετάστασιν· Σήμερον γὰρ ἐκ τῆς προσκαίρου μεταστᾶσα ζωῆς, ἐν τοῖς ἐπουρανίοις μετὰ χαρᾶς τὴν πορείαν ποιουμένη ἀγάλλεται, καὶ ὡς οὖσα Μήτηρ τῆς ὄντως ἀληθοῦς Θεοτόκου, κραυγάζει πιστῶς· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, ὅτι ἔτεκον τὴν τούτου Μητέρα ἐν τῇ γῇ. Γένοιτο οὖν μεθ' ἡμῶν, ὁ τούτους δοξάσας ὡς ηὐδόκησε.

*Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Συναξαρίου.*

### Oikos.

Let us all prophetically come together to worthily extol the all-holy passing of Christ's grandmother. For today she passed from this temporal life and joyfully made her way into heaven, where she greatly rejoices. As the true mother of the true Theotokos, she cries out with faith: "My soul magnifies the Lord, for I gave birth to His Mother on earth." May He be with us, He who glorified them as He was pleased to do. [SD]

*It is appropriate for the congregation to stand for the reading of the Synaxarion.*

## Συναξάριον

Τοῦ Μηναίου.

Τῇ ΚΕ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Κοιμήσεως τῆς Ἁγίας Ἄννης, μητρὸς τῆς Ὑπεραγίας Θεοτόκου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων 165 Πατέρων, τῶν ἐν τῇ πέμπτῃ Οἰκουμενικῇ Συνόδῳ συνελθόντων καὶ τὰ Ὠριγένους δόγματα καθελόντων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ὁσίας καὶ μακαρίας Ὀλυμπιάδος τῆς Διακόνου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Εὐπραξίας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Μαρτύρων Σάκτου (ἢ Σάγκτου), Ματούρου, Ἀττάλου καὶ Βλανδίνης.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

## Synaxarion

From the Menaion.

On July 25, we commemorate the Dormition of Saint Anna, the mother of the Most Holy Theotokos.

On this day we also commemorate the holy 165 Father, who convened for the Fifth Ecumenical Council and refuted the teachings of Origen.

On this day we also commemorate the devout and blessed Olympias the Deaconess.

On this day we also commemorate our devout Mother Eupraxia.

On this day we also commemorate the holy Martyrs Sanctus, Maturus, Attalus, and Blandina.

By their holy intercessions, O God, have mercy on us. Amen.

**ΧΟΡΟΣ**

### Καταβασίαι τῆς Θεοτόκου

### ᾨδὴ α΄. Ἦχος δ΄.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

**CHOIR**

### Katavasias of Theotokos

### Ode i. Mode 4.

I open my mouth and pray the Spirit fill it, like David said, * to pour out a good word to the Queen and Mother of God. * I will celebrate * her feast with joy and gladness * and sing to her merrily, lauding her miracles. [SD]

### ᾨδὴ γ΄.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

### Ode iii.

Establish your servants who extol you, * O Mother of God, for they have formed * a spiritual choir for you * the living and abundant fount; * and graciously in your divine glory give glorious crowns to them. [SD]

**Ὠδὴ δ΄.**

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης, Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

**Ode iv.**

When the Prophet Habakkuk heard the divine * and incomprehensible counsel of Your Incarnation * from the Virgin, O Most High, * considering, he cried aloud: * Glory to Your power, O Lord my God. [SD]

**Ὠδὴ ε΄.**

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

**Ode v.**

Amazed was the universe by your divine magnificence. * You who were perpetually virgin * carried the heavenly God of all in your womb * and gave birth to the eternal Son, * who awards salvation to all who sing hymns of praise to you. [SD]

**Ὠδὴ ϛ΄.**

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

**Ode vi.**

O godly-minded believers, come * and celebrate this sacred and venerable feast and thus extol * the Theotokos, and clap our hands, * and glorify our God who was truly born of her. [SD]

**Ὠδὴ ζ΄.**

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον. Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**Ode vii.**

Godly-minded three * did not adore created things in the Creator's stead; * rather, disdaining the threat * of fire, they trampled it, and joyfully they sang: * "O supremely praised * and most exalted Lord and God * of the fathers, You are blessed." [SD]

**Ὠδὴ η΄.**

*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Ode viii.**

*We praise and we bless and we worship the Lord.*

Guiltless were those Servants in the furnace. * The Son of the Theotokos went and rescued them. * He who was prefigured then, * having been incarnate now, * is gathering the whole wide world into His Church to sing:

* "O all you works of the Lord, to all ages * sing praises to the Lord and exalt Him beyond measure." [SD]

*Ὁ λαὸς ἵσταται διὰ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου.*

*It is appropriate for the congregation to stand for the reading of Gospel.*

**ΔΙΑΚΟΝΟΣ**

Τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

**DEACON**

Let us pray to the Lord.

*( Lord, have mercy. )*

**ΙΕΡΕΥΣ**

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**PRIEST**

For You are holy, our God, who rest among the Saints, and to You we give glory, to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

**ΧΟΡΟΣ**

Ἀμήν.

**CHOIR**

Amen.

**Ἦχος β΄.**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (δίς) Αἰνεσάτω πνοή πᾶσα τὸν Κύριον.

**Mode 2.**

Let everything that breathes praise the Lord. (2) Let everything that breathes praise the Lord. [SAAS]

**ΔΙΑΚΟΝΟΣ**

Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

*( Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. )*

**DEACON**

Let us pray to the Lord our God that we may be made worthy to hear the holy Gospel.

*( Lord, have mercy. Lord, have mercy. Lord, have mercy. )*

**ΔΙΑΚΟΝΟΣ**

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

**DEACON**

Wisdom. Arise. Let us hear the Holy Gospel.

**ΙΕΡΕΥΣ**

Εἰρήνη πᾶσι.

*( Καὶ τῷ πνεύματί σου. )*

**PRIEST**

Peace be with all.

*( And with your spirit. )*

**ΙΕΡΕΥΣ**

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

**PRIEST**

The reading is from the Holy Gospel according to Luke.

**ΔΙΑΚΟΝΟΣ**

Πρόσχωμεν.

*( Δόξα σοι, Κύριε, δόξα σοι. )*

**ΙΕΡΕΥΣ** *(ἀπὸ τῆς ἁγίας τραπέζης)*

Ἑωθινὸν Ε´
Λουκᾶν ΚΔ´ 12-35

Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς, καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καί αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς· οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθείς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ· ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν· ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. Ἀλλά γε οὖν σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ

**DEACON**

Let us be attentive.

*( Glory to You, O Lord, glory to You. )*

**PRIEST** *(from the altar table)*

Eothinon 5
Luke. 24:12-35

At that time, [Peter rose and ran to the tomb; stooping and looking in, he saw the linen cloths by themselves; and he went home wondering at what had happened. That very day] two of them were going to a village named Emmaus, about seven miles from Jerusalem, and talking with each other about all these things that had happened. While they were talking and discussing together, Jesus Himself drew near and went with them. But their eyes were kept from recognizing Him. And He said to them, "What is this conversation which you are holding with each other as you walk?" and they stood still, looking sad. Then one of them, named Cleopas, answered Him, "Are you the only visitor to Jerusalem who does not know the things that have happened there in these days?" And He said to them, "What things?" And they said to him, "Concerning Jesus of Nazareth, who was a prophet mighty in deed and word before God and all the people, and how our chief priests and rulers delivered Him up to be condemned to death, and crucified Him. But we had hoped that He was the one to redeem Israel. Yes, and besides all this, it is now the third day since this happened. Moreover, some women of our company amazed us. They were at the tomb early in the morning and did not

γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ Προφῆται. Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτόν, λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας, ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

*( Δόξα σοι, Κύριε, δόξα σοι. )*

find His body; and they came back saying that they had even seen a vision of angels, who said that He was alive. Some of those who were with us went to the tomb, and found it just as the women had said; but Him they did not see." And He said to them, "O foolish men, and slow of heart to believe all that the prophets have spoken! Was not it necessary that the Christ should suffer these things and enter into this glory?" And beginning with Moses and all the prophets, He interpreted to them in all the scriptures the things concerning Himself. So they drew near to the village to which they were going. He appeared to be going further, but they constrained Him, saying, "Stay with us, for it is toward evening and the day is now far spent." So He went in to stay with them. When He was at table with them, He took the bread and blessed, and broke it, and gave it to them. And their eyes were opened and they recognized Him; and He vanished out of their sight. They said to each other, "Did not our hearts burn within us while He talked to us on the road, while He opened to us the scriptures?" And they rose that same hour and returned to Jerusalem; and they found the eleven gathered together and those who were with them, who said, "The Lord has risen indeed, and has appeared to Simon!" Then they told what had happened on the road and how He was known to them in the breaking of the bread. [RSV]

*( Glory to You, O Lord, glory to You. )*

**ΑΝΑΓΝΩΣΤΗΣ**

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

**READER**

Having beheld the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless one. Your Cross, O Christ, we venerate, and Your holy Resurrection we praise and glorify. For You are our God; apart from You we know no other; we call upon Your name. Come, all faithful, let us venerate the holy Resurrection of Christ; for behold, through the Cross, joy has come to the whole world. Ever blessing the Lord, let us praise His Resurrection; for having endured the Cross for us, He destroyed death by death. [GOA]

**ΧΟΡΟΣ**

**Ψαλμὸς Ν΄ (50).**

**Ἦχος β΄.** *(ἢ τῆς ἑβδομάδος.)*

[Ἐλεήμων,] Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

**CHOIR**

**Psalm 50 (51).**

**Mode 2.** *(or the Mode of the week)*

[Merciful,] Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.

Wash me thoroughly from my lawlessness and cleanse me from my sin.

For I know my lawlessness, and my sin is always before me.

Against You only have I sinned and done evil in Your sight; that You may be justified in Your words, and overcome when You are judged.

For behold, I was conceived in transgressions, and in sins my mother bore me.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Behold, You love truth; You showed me the unknown and secret things of Your wisdom.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

You shall sprinkle me with hyssop, and I will be cleansed; You shall wash me, and I will be made whiter than snow.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

You shall make me hear joy and gladness; my bones that were humbled shall greatly rejoice.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Turn Your face from my sins, and blot out all my transgressions.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Create in me a clean heart, O God, and renew a right spirit within me.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Do not cast me away from Your presence, and do not take Your Holy Spirit from me.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Restore to me the joy of Your salvation, and uphold me with Your guiding Spirit.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

I will teach transgressors Your ways, and the ungodly shall turn back to You.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Deliver me from bloodguiltiness, O God, the God of my salvation, and my tongue shall greatly rejoice in Your righteousness.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

O Lord, You shall open my lips, and my mouth will declare Your praise.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

For if You desired sacrifice, I would give it; You will not be pleased with whole burnt offerings.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

A sacrifice to God is a broken spirit, a broken and humbled heart God will not despise.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

Do good, O Lord, in Your good pleasure to Zion, and let the walls of Jerusalem be built.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Then You will be pleased with a sacrifice of righteousness, with offerings and whole burnt offerings.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Then shall they offer young bulls on Your altar. And have mercy on me, O God. [SAAS]

Δόξα.

Glory.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

At the intercession of the Apostles, O Lord of mercy, blot out my many offences. [SD]

Καὶ νῦν.

Both now.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

At the intercession of the Theotokos, O Lord of mercy, blot out my many offences. [SD]

**Στίχ.** *Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

**Verse:** *Have mercy on me, O God, according to Your great mercy; and according to the abundance of Your compassion, blot out my transgression.*

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

Jesus, having risen from the grave as He foretold, has granted us eternal life and great mercy. [SD]

**ΔΙΑΚΟΝΟΣ**

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων

**DEACON**

O God, save Your people and bless Your inheritance. Look upon Your world with mercy and compassion. Raise the Orthodox Christians in glory, and send down upon us Your rich mercies, through the intercessions of our most pure Lady the Theotokos and ever-Virgin Mary, the power of the precious and life giving Cross, the protection of the honorable, bodiless Powers of heaven, the

Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, Κυρίλλου καὶ Ἰωάννου τοῦ Ἐλεήμονος Πατριαρχῶν Ἀλεξανδρίας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος Τριμυθοῦντος καὶ Νεκταρίου Πενταπόλεως τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων Μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρου τοῦ Τήρωνος, Θεοδώρου τοῦ Στρατηλάτου, Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν Ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῆς ἁγίας ἐνδόξου Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας· τῶν ἁγίων ἐνδόξων Μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· (τοῦ Ἁγίου τοῦ Ναοῦ)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, ἧς καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν Ἁγίων. Ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

supplications of the honorable and glorious prophet, and forerunner John the Baptist, the holy, glorious, and praiseworthy Apostles, our Fathers among the Saints, the great hierarchs and ecumenical teachers, Basil the Great, Gregory the Theologian and John Chrysostom, Athanasios, Cyril, and John the Merciful, patriarchs of Alexandria; Nicholas, bishop of Myra, Spyridon, bishop of Trimythous, Nektarios of Pentapolis, the wonder-workers; the holy, glorious great Martyrs George the Victorious, Demetrios the Myrobletes, Theodore the Teron, and Theodore the General, Menas the Wonderworker, the Hieromartyrs Haralambos and Eleftherios; the holy, glorious, and victorious martyrs; the glorious great Martyr and all-laudable Euphemia; the holy and glorious Martyrs Thecla, Barbara, Anastasia, Katherine, Kyriake, Fotene, Marina, Paraskeve and Irene; of our holy God-bearing Fathers; (local patron saint); the holy and righteous ancestors of God Joachim and Anna, whose memory we celebrate, and of all your Saints. We beseech you, only merciful Lord, hear us sinners who pray to you and have mercy on us.

**ΧΟΡΟΣ**

Κύριε, ἐλέησον. (ιβ΄)

**CHOIR**

Lord, have mercy. (12)

**ΙΕΡΕΥΣ**

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἰ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

*( Ἀμήν. )*

**PRIEST**

Through the mercy, compassion, and love of mankind of Your only-begotten Son, with whom You are blessed, together with Your all-holy, good and life-giving Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

*Ὁ λαὸς ἵσταται διὰ τὴν Θ΄ Ὠδήν.*

*It is appropriate for the congregation to stand for the singing of Ode ix.*

**ΔΙΑΚΟΝΟΣ**

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

**DEACON**

Let us honor and magnify in song the Theotokos and the Mother of the light.

**ΧΟΡΟΣ**

**Ὠδὴ θ΄.**

**Μεγαλυνάριον. Ἦχος δ΄.**

**CHOIR**

**Ode ix.**

**The Magnificat. Mode 4.**

**Στίχ.** *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

**Verse:** *My soul magnifies the Lord, and my spirit has rejoiced in God my Savior.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.*

**Verse:** *For He has regarded the lowly state of His maidservant; for behold, henceforth all generations will call me blessed.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καί το ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.*

**Verse:** *For He who is mighty has done great things for me, and holy is His name. And His mercy is on those who fear Him from generation to generation.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Ἐποίησε Κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*

**Verse:** *He has shown strength with His arm; He has scattered the proud in the imagination of their hearts.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.*

**Verse:** *He has put down the mighty from their thrones, and exalted the lowly. He has filled the hungry with good things, and the rich He has sent away empty.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**Στίχ.** *Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς Πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.*

**Verse:** *He has helped His servant Israel, in remembrance of His mercy, as He spoke to our fathers, to Abraham and to his seed forever.* [NKJV]

Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Greater in honor than the Cherubim, and in glory greater beyond compare than the Seraphim; you without corruption gave birth to God the Word, and are truly Theotokos. You do we magnify. [SD]

**ᾨδὴ θ΄. Καταβασία. Ἦχος δ΄.**

Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος, πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ ἀειπάρθενε.

**Ode ix. Katavasia. Mode 4.**

All you born on earth, * with festival lamps in hand, in spirit leap for joy; * and all you the heavenly angelic orders, join in and celebrate; * and honoring the sacred wonders of the Mother of God, * sing the

joyful salutation, "O rejoice, * Theotokos, all-blest, ever-virgin pure!" [SD]

**ΔΙΑΚΟΝΟΣ**

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

*( Κύριε, ἐλέησον. )*

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

*( Κύριε, ἐλέησον. )*

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

*( Σοί, Κύριε. )*

**ΙΕΡΕΥΣ**

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰωνων.

*( Ἀμήν. )*

**ΧΟΡΟΣ**

**Ἦχος β΄.**

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (δίς)

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Ὅτι ἅγιός ἐστι.

Τῆς Ὀκτωήχου - - -

**Ἐξαποστειλάριον.**

**Τὸ Ε΄ Ἑωθινόν.**

**Ἦχος β΄.** *Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Ἡ ζωὴ καὶ ὁδὸς Χριστός, ἐκ νεκρῶν τῷ Κλεόπᾳ καὶ τῷ Λουκᾷ συνώδευσεν, οἷς περ καὶ ἐπεγνώσθη, εἰς Ἐμμαοὺς κλῶν τὸν ἄρτον·

**DEACON**

Again and again, in peace, let us pray to the Lord.

*( Lord, have mercy. )*

Help us, save us, have mercy on us, and protect us, O God, by Your grace.

*( Lord, have mercy. )*

Commemorating our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another and our whole life to Christ our God.

*( To You, O Lord. )*

**PRIEST**

For all the powers of heaven praise You and give You glory, to the Father and the Son and the Holy Spirit, now and forever and to the ages of ages.

*( Amen. )*

**CHOIR**

**Mode 2.**

Holy is the Lord our God. (2) [SAAS]

Exalt the Lord our God, and worship at the footstool of His feet.

For He is holy.

From Octoechos - - -

**Exaposteilarion.**

**Eothinon 5.**

**Mode 2.** *On the mountain.*

When Christ who is the life and way * had from the dead arisen, * He went with Luke and Cleopas, * who dining recognized Him *

ὧν ψυχαὶ καὶ καρδίαι, καιόμεναι ἐτύγχανον, ὅτε τούτοις ἐλάλει ἐν τῇ ὁδῷ, καὶ Γραφαῖς ἡρμήνευεν, ἃ ὑπέστη· μεθ' ὧν, Ἠγέρθη, κράξωμεν, ὤφθη τε καὶ τῷ Πέτρῳ.

breaking the bread in Emmaus. * Their souls and hearts within them * were burning while He talked to them * on the road and interpreted unto them * in the scriptures all the things He had suffered. * With them cry out that He arose * and has appeared to Peter. [SD]

**Τῆς Ἁγίας.**

Τοῦ Μηναίου - - -

**Ἦχος β΄.** *Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Χρεωστικῶς ὑμνήσωμεν, τὴν θεόκλητον Ἄνναν· τὴν Θεοτόκον αὕτη γάρ, τὴν Παρθένον Μαρίαν, κυήσασα παρ' ἐλπίδα, ἀγχιστεὺς κατὰ σάρκα, Χριστοῦ τοῦ Λυτρωτοῦ ἡμῶν, ἀνεδείχθη τοῦ ταύτην, θεοπρεπῶς, προσλαβόντος σήμερον ἐν ὑψίστοις, ὑπὲρ ἡμῶν πρεσβεύουσα, καὶ εἰρήνης τοῦ κόσμου.

**For the Holy Woman.**

From Menaion - - -

**Mode 2.** *On the mountain.*

Of righteous Anna, called by God, * let us duly sing praises. * For she conceived beyond all hope * and bore the Virgin Mary, * the most-holy Theotokos; * and in so doing she was * shone forth to be the kin of Christ * our Redeemer; and He has today as God * taken her to join Him on high in heaven. * She intercedes on our behalf * and for the sake of world peace. [SD]

**Οἱ Αἶνοι. Ἦχος δ΄.**

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου.

Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

**Lauds. Mode 4.**

Let everything that breathes praise the Lord. Praise the Lord from the heavens, praise Him in the highest. It is fitting to sing a hymn to You, O God. [SAAS]

Praise Him, all you His angels; praise Him, all you His hosts. It is fitting to sing a hymn to You, O God. [SAAS]

Praise Him, sun and moon; praise Him, all you stars and light.

Praise Him, you heavens of heavens, and you waters above the heavens. Let them praise the Lord's name.

For He spoke, and they were made; He commanded, and they were created.

He established them forever and unto ages of ages; He set forth His ordinance, and it shall not pass away.

Praise the Lord from the earth, you dragons and all the deeps.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Fire and hail, snow and ice, stormy wind, which perform His word.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.

Mountains and all the hills, fruitful trees and all cedars.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Wild animals and all cattle, creeping things and flying birds.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.

Kings of the earth and all peoples, princes and all judges of the earth.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Young men and maidens, elders with younger, let them praise the Lord's name, for His name alone is exalted.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

His thanksgiving is in earth and heaven. And He shall exalt the horn of His people.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

A hymn for all His saints, for the children of Israel, a people who draw near to Him.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.

Sing to the Lord a new song, His praise in the assembly of His holy ones.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ οἱ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Let Israel be glad in Him who made him, and let the children of Zion greatly rejoice in their King.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Let them praise His name with dance; with tambourine and harp let them sing to Him.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

For the Lord is pleased with His people, and He shall exalt the gentle with salvation.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

The holy ones shall boast in glory, and they shall greatly rejoice on their beds.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

The high praise of God shall be in their mouth and a two-edged sword in their hand.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

To deal retribution to the nations, reproving among the peoples.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

To shackle their kings with chains and their nobles with fetters of iron.

Τῆς Ὀκτωήχου - - -

## Στιχηρὰ Ἀναστάσιμα.

## Ἦχος δ΄.

*Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.*

Ὁ Σταυρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν Ἀνάστασιν.

## Ἦχος δ΄.

*Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.*

Ἐν τῷ Σταυρῷ σου Χριστέ, τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας ἡμᾶς, καὶ ἐν τῷ θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας, ἐν δὲ τῇ Ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας· διὸ βοῶμέν σοι, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

## Ἦχος δ΄.

*Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.*

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτήρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου, καὶ ῥῦσαι ἡμᾶς, τῶν παγίδων τοῦ ἐχθροῦ, ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ, ἐκτείνας τὴν χεῖρά σου, φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου.

From Octoechos - - -

## Resurrectional Stichera.

## Mode 4.

*To fulfill among them the written judgment: this glory have all His holy ones.* [SAAS]

You endured crucifixion and death, O Lord, and resurrected from the dead. O Almighty One, we glorify Your resurrection. [SD]

## Mode 4.

*Praise God in His saints; praise Him in the firmament of His power.* [SAAS]

O Christ, by means of Your Cross, You have set us free from the ancient curse; and by means of Your death, You have neutralized the devil who tyrannized our nature; and by Your rising, You filled all things with joy. Therefore we shout to You, who rose from the dead, "Glory to You, O Lord." [SD]

## Mode 4.

*Praise Him for His mighty acts; praise Him according to the abundance of His greatness.* [SAAS]

By means of Your Cross, O Lord, direct us to Your truth, O Christ our Savior; and deliver us from the snares of the foe. You who rose from the dead, raise us who are fallen because of sin, extending Your hand, O Lord who loves humanity, at the intercession of Your holy ones. [SD]

**Ἦχος δ΄.**

*Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.*

Τῶν πατρικῶν σου κόλπων, μὴ χωρισθεὶς μονογενὲς Λόγε τοῦ Θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἄνθρωπος γενόμενος ἀτρέπτως, καὶ Σταυρὸν καὶ θάνατον ὑπέμεινας σαρκί, ὁ ἀπαθὴς τῇ Θεότητι, ἀναστὰς δὲ ἐκ νεκρῶν ἀθανασίαν παρέσχες τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος παντοδύναμος.

**Mode 4.**

*Praise Him with the sound of trumpet; praise Him with the harp and lyre.* [SAAS]

Only-begotten Logos of God, while departing not from the Father's bosom, You came to earth for love of humanity, immutably becoming human; and You physically endured the Cross and death, although impassible in divinity. Having risen from the dead, You granted the human race immortality, as the only almighty One. [SD]

**Στιχηρά. Τῆς Ἁγίας.**

Τοῦ Μηναίου - - -

**Ἦχος α΄.** *Τῶν οὐρανίων ταγμάτων.*

*Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.*

Μνήμην τελοῦντες αἰσίαν, σὲ ἀνυμνοῦμεν Χριστέ, τὸν παραδόξως Ἄνναν, ἐκ ζωῆς τῆς προσκαίρου πρὸς τὴν ἄληκτον δόξαν, μεταστήσαντα νῦν, ὡς μητέρα ὑπάρχουσαν, τῆς σὲ τεκούσης ἀσπόρως ὑπερφυῶς, Θεοτόκου καὶ Παρθένου Μητρός.

**Stichera. For the Holy Woman.**

From Menaion - - -

**Mode 1.** *For the celestial orders.*

*Praise Him with timbrel and dance; praise Him with strings and flute.* [SAAS]

Holding this happy observance, we sing Your praises, O Christ; * for from this life that passes * You wondrously translated * to unending glory Anna who bore * Your own Mother, the Virgin Maid, * and Theotokos who seedlessly would conceive * and ineffably give birth to You. [SD]

*Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.*

Μνήμην τελοῦντες αἰσίαν, σὲ ἀνυμνοῦμεν Χριστέ, τὸν παραδόξως Ἄνναν, ἐκ ζωῆς τῆς προσκαίρου πρὸς τὴν ἄληκτον δόξαν, μεταστήσαντα νῦν, ὡς μητέρα ὑπάρχουσαν, τῆς σὲ τεκούσης ἀσπόρως ὑπερφυῶς, Θεοτόκου καὶ Παρθένου Μητρός.

*Praise Him with resounding cymbals; praise Him with triumphant cymbals; let everything that breathes praise the Lord.* [SAAS]

Holding this happy observance, we sing Your praises, O Christ; * for from this life that passes * You wondrously translated * to unending glory Anna who bore * Your own Mother, the Virgin Maid, * and Theotokos who seedlessly would conceive * and ineffably give birth to You. [SD]

**Στίχ.** *Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.*

Μνήμην ἁγίαν τελοῦντες, τῶν Προπατόρων Χριστοῦ, Ἰωακεὶμ καὶ Ἄννης, τῶν σεπτῶν καὶ ἀμέμπτων, δοξάζομεν ἀπαύστως, τὸν λυτρωτήν, καὶ οἰκτίρμονα Κύριον, τὸν μεταστήσαντα τούτους πρὸς τὴν ζωήν, τὴν ἀγήρω καὶ ἀνώλεθρον.

**Στίχ.** *Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ.*

Πρὸς τὰς ἀΰλους χορείας, καὶ τῶν Δικαίων σκηνάς, ἔνθα Ἀγγέλων τάξεις, ἔνθα δῆμος Ἁγίων, χαρὰ ἑορταζόντων ἄγεται νῦν, τῶν Δικαίων τὰ πνεύματα, Ἰωακεὶμ καὶ τῆς Ἄννης, οὓς εὐσεβῶς, εὐφημοῦντες μακαρίσωμεν.

Τῆς Ὀκτωήχου - - -

Δόξα. **Ἦχος πλ. α΄.**

**Τὸ Ε΄ Ἑωθινόν.**

Ὢ τῶν σοφῶν σου κριμάτων Χριστέ! πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις μόνοις, ἔδωκας ἐννοῆσαί σου τὴν Ἀνάστασιν, Λουκᾷ δὲ καὶ Κλεόπᾳ, συμπορευόμενος ὡμίλεις, καὶ ὁμιλῶν, οὐκ εὐθέως σεαυτὸν φανεροῖς; Διὸ καὶ ὀνειδίζῃ, ὡς μόνος παροικῶν ἐν Ἱερουσαλήμ, καὶ μὴ μετέχων τῶν, ἐν τέλει βουλευμάτων αὐτῆς. Ἀλλ' ὁ πάντα πρός τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν, καὶ τὰς περὶ σοῦ προφητείας ἀνέπτυξας, καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον, ἐγνώσθης αὐτοῖς, ὧν καὶ πρὸ τούτου αἱ καρδίαι, πρὸς γνῶσίν σου ἀνεφλέγοντο, οἳ καὶ τοῖς Μαθηταῖς συνηθροισμένοις, ἤδη τρανῶς

**Verse:** *Rejoice greatly in the Lord, O righteous ones; praise is fitting for the upright.* [SAAS]

Holding the feast of the righteous * and blessed Grandparents of Christ, * Joachim and Anna, * who were saintly and blameless, * we glorify our merciful Savior and Lord and Redeemer unceasingly, * who from this life that is fleeting translated them * to immortal life that ages not. [SD]

**Verse:** *Blessed are all who fear the Lord, who walk in His ways.* [SAAS]

To immaterial choirs, to where the Just reside, * wherein angelic orders and the saints all assemble, * are taken now the spirits of Joachim * and of Anna, that righteous pair, * to celebration and joy. As we sing their praise, * let us call them blessed reverently. [SD]

From Octoechos - - -

Glory. **Mode pl. 1.**

**Eothinon 5.**

O how wise are Your judgments, O Christ! How was it that to Peter You granted to understand Your resurrection by the grave clothes alone, whereas to Luke and Cleopas You spoke as You walked with them, and in speaking did not immediately reveal yourself? And for this reason You were upbraided as the only visitor to Jerusalem who was unaware of what had happened there in those days. Then You, who arrange everything for the benefit of Your creature, interpreted the prophecies concerning You, and when You blessed the bread they recognized You. Even before this, their hearts were burning in recognition of

ἐκήρυττόν σου τὴν Ἀνάστασιν, δι' ἧς ἐλέησον ἡμᾶς.

You. Then to the Disciples, who were gathered together, at once they clearly proclaimed Your resurrection; by which have mercy on us. [SD]

Καὶ νῦν. **Θεοτοκίον.**

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεις ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Both now. **Theotokion.**

You are supremely blessed, O Virgin Theotokos. For through Him who from you became incarnate was Hades taken prisoner, and Adam has been summoned back; the curse has been neutralized, and Eve has been liberated; death has been put to death, and we have been brought to life. Therefore extolling we cry out: O Christ our God, You are blessed, for so was Your good pleasure. Glory to You! [SD]

*Ὁ λαὸς ἵσταται διὰ τὴν Μ. Δοξολογίαν.*

*It is appropriate for the congregation to stand for the Great Doxology.*

## Ἡ Μεγάλη Δοξολογία

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

## Great Doxology

Glory be to You who showed the light. Glory in the highest to God. His peace is on earth, His good pleasure in mankind. [SD]

We praise You, we bless You, we worship You, we glorify You, we give thanks to You for Your great glory.

Lord King, heavenly God, Father, Ruler over all; Lord, only-begotten Son, Jesus Christ; and You, O Holy Spirit.

Lord God, Lamb of God, Son of the Father, who take away the sin of the world, have mercy on us, You who take away the sins of the world.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Accept our supplication, You who sit at the right hand of the Father, and have mercy on us.

For You alone are holy, You alone are Lord, Jesus Christ, to the glory of God the Father. Amen.

Every day I will bless You, and Your name will I praise to eternity, and to the ages of ages.

Vouchsafe, O Lord, this day, that we be kept without sin.

Blessed are You, O Lord, the God of our fathers, and praised and glorified is Your name to the ages. Amen.

Let Your mercy be on us, O Lord, as we have set our hope on You.

Blessed are You, O Lord. Teach me Your statutes.

Blessed are You, O Lord. Teach me Your statutes.

Blessed are You, O Lord. Teach me Your statutes.

Lord, You have been our refuge from generation to generation. I said: Lord, have mercy on me. Heal my soul, for I have sinned against You.

Lord, I have fled to You. Teach me to do Your will, for You are my God.

For with You is the fountain of life; in Your light we shall see light.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γʹ)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

*Μετὰ τὸ τέλος τῆς Δοξολογίας λέγομεν Τροπάριον Ἀναστάσιμον.*

**Ἦχος δʹ.** *(ἢ τῆς ἑβδομάδος.)*

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Continue Your mercy to those who know You.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. (3)

Glory to the Father and the Son and the Holy Spirit.

Both now and ever and to the ages of ages. Amen.

Holy Immortal, have mercy on us.

Holy God, Holy Mighty, Holy Immortal, have mercy on us.

*After the Doxology, sing the following Resurrectional Troparion.*

**Mode 4.** *(or the Mode of the week)*

Today has salvation come to pass in the world. Let us sing to Him who resurrected from the tomb and is the Author of our life. For, destroying death by death, He gave us the victory and the great mercy. [SD]